**SS 2024 Griech. Lektüre-Übung: Menander, *Dyskolos* TEXT 11 (Karanasiou)**

https://www.greek-language.gr/digitalResources/ancient_greek/library/browse.html?text_id=137&page=21

V. 665-680

τοῦτ᾽ ἐστίν, ἄν τις ἆρα μισθώσητ᾽ ἐμέ.

(ΣΩ.) ἄνδρες, μὰ τὴν Δήμητρα, μὰ τὸν Ἀσκληπιόν,
μὰ τοὺς θεούς, οὐπώποτ᾽ ἐν τὠμῷ βίῳ
εὐκαιρότερον ἄνθρωπον ἀποπεπνιγμένον
ἑόρακα μικροῦ. τῆς γλυκείας διατριβῆς·
ὁ Γοργίας γάρ, ὡς τάχιστ᾽ εἰσήλθομεν,
εὐθὺς κατεπήδησ᾽ εἰς τὸ φρέαρ, ἐγὼ δὲ καὶ
ἡ παῖς ἄνωθεν οὐδὲν ἐποοῦμεν· τί γὰρ
ἐμέλλομεν; πλὴν ἡ μὲν αὑτῆς τὰς τρίχας
ἔτιλλ᾽, ἔκλα᾽, ἔτυπτε τὸ στῆθος σφόδρα,
ἐγὼ δ᾽ ὁ χρυσοῦς, ὥσπερεὶ νὴ τοὺς θεοὺς
τροφὸς παρεστώς, ἐδεόμην γε μὴ ποεῖν
τοῦθ᾽, ἱκέτευον, ἐμβλέπων ἀγάλματι
οὐ τῷ τυχόντι. τοῦ δὲ πεπληγμένου κάτω
ἔμελεν ἔλαττον ἤ τινός μοι, πλὴν ἀεὶ
ἕλκειν ἐκεῖνον· τοῦτ᾽ ἐνώχλει μοι σφόδρα.